τοῦ Ισραηλ. — 10 ἡ μήτηρ σου ὡς ἄμπελος, ὡς ἄνθος ἐν ῥόᾳ ἐν 10
ὕδατι πεφυτευμένη, ὁ καρπὸς αὐτῆς καὶ ὁ βλαστὸς αὐτῆς ἐγένετο
ἐξ ὕδατος πολλοῦ. 11 καὶ ἐγένετο αὐτῇ ῥάβδος ἰσχύος ἐπὶ φυλὴν 11
ἡγουμένων, καὶ ὑψώθη τῷ μεγέθει αὐτῆς ἐν μέσῳ στελεχῶν καὶ
εἶδεν τὸ μέγεθος αὐτῆς ἐν πλήθει κλημάτων αὐτῆς. 12 καὶ κατεκλά- 12
σθη ἐν θυμῷ, ἐπὶ γῆν ἐρρίφη, καὶ ἄνεμος ὁ καύσων ἐξήρανεν τὰ
ἐκλεκτὰ αὐτῆς· ἐξεδικήθη καὶ ἐξηράνθη ἡ ῥάβδος ἰσχύος αὐτῆς,
πῦρ ἀνήλωσεν αὐτήν. 13 καὶ νῦν πεφύτευκαν αὐτὴν ἐν τῇ ἐρήμῳ, 13
ἐν γῇ ἀνύδρῳ· 14 καὶ ἐξῆλθεν πῦρ ἐκ ῥάβδου ἐκλεκτῶν αὐτῆς καὶ 14
κατέφαγεν αὐτήν, καὶ οὐκ ἦν ἐν αὐτῇ ῥάβδος ἰσχύος. φυλὴ εἰς
παραβολὴν θρήνου ἐστὶν καὶ ἔσται εἰς θρῆνον.

1 Καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ ἑβδόμῳ ἐν τῷ πέμπτῳ μηνὶ δεκάτῃ 20
τοῦ μηνὸς ἦλθον ἄνδρες ἐκ τῶν πρεσβυτέρων οἴκου Ισραηλ ἐπ-
ερωτῆσαι τὸν κύριον καὶ ἐκάθισαν πρὸ προσώπου μου. 2 καὶ ἐγένετο 2
λόγος κυρίου πρός με λέγων 3 Υἱὲ ἀνθρώπου, λάλησον πρὸς τοὺς 3
πρεσβυτέρους τοῦ Ισραηλ καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε λέγει κύριος
Εἰ ἐπερωτῆσαί με ὑμεῖς ἔρχεσθε; ζῶ ἐγὼ εἰ ἀποκριθήσομαι ὑμῖν,
λέγει κύριος; 4 εἰ ἐκδικήσω αὐτοὺς ἐκδικήσει; υἱὲ ἀνθρώπου, τὰς 4
ἀνομίας τῶν πατέρων αὐτῶν διαμάρτυραι αὐτοῖς 5 καὶ ἐρεῖς πρὸς 5
αὐτούς Τάδε λέγει κύριος Ἀφ᾽ ἧς ἡμέρας ᾑρέτισα τὸν οἶκον Ισραηλ
καὶ ἐγνωρίσθην τῷ σπέρματι οἴκου Ιακωβ καὶ ἐγνώσθην αὐτοῖς ἐν
γῇ Αἰγύπτου καὶ ἀντελαβόμην τῇ χειρί μου αὐτῶν λέγων Ἐγὼ
κύριος ὁ θεὸς ὑμῶν, 6 ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀντελαβόμην τῇ χειρί 6
μου αὐτῶν τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου εἰς τὴν γῆν, ἣν
ἡτοίμασα αὐτοῖς, γῆν ῥέουσαν γάλα καὶ μέλι, κηρίον ἐστὶν παρὰ
πᾶσαν τὴν γῆν. 7 καὶ εἶπα πρὸς αὐτούς Ἕκαστος τὰ βδελύγματα 7
τῶν ὀφθαλμῶν αὐτοῦ ἀπορριψάτω, καὶ ἐν τοῖς ἐπιτηδεύμασιν Αἰ-
γύπτου μὴ μιαίνεσθε· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. 8 καὶ ἀπέστησαν 8
ἀπ᾽ ἐμοῦ καὶ οὐκ ἠθέλησαν εἰσακοῦσαί μου, τὰ βδελύγματα τῶν
ὀφθαλμῶν αὐτῶν οὐκ ἀπέρριψαν καὶ τὰ ἐπιτηδεύματα Αἰγύπτου
οὐκ ἐγκατέλιπον. καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ᾽ αὐτοὺς
τοῦ συντελέσαι τὴν ὀργήν μου ἐν αὐτοῖς ἐν μέσῳ γῆς Αἰγύπτου.
9 καὶ ἐποίησα ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεβηλωθῇ ἐν- 9

10 ως $2^0$] pr. και B† || 11 εγενετο] -νοντο A*L*, sed ραβδος retinet A, ραβδοι *L* | ισχυος (cf. 12. 14) > BV† | τω] pr. εν A || 12 ο > A | εξεδικηθη] + σαν BQpau. = 𝔐, sed εξηρανθη seq. retinent etiam hi contra 𝔐 || 13 εφυτευσαν A || 14 ισχυος] + αυτης A

20 1 εν $2^0$ — δεκατη] τη πεντεκαιδεκατη B† | οικου] pr. του A: cf. 3 || 3 ισραηλ] pr. οικου A: ex 1 | κυριος $1^0$ BApau.] pr. αδωναι rel.: item in 31, cf. 3 ($2^0$). 27. 33 5 5 | ει $1^0$ > Apau. | κυριος $2^0$ B†] pr. αδωναι rel.: cf. κυριος $1^0$ || 5 κυριος $1^0$ BC†] + ο θεος A: cf. 30. 36. 38 14 6 | οικου] pr. του A | αιγυπτω A || 6 ητοιμασα] ωμοσα A† || 7 τα > BQ† | αυτου > B*† || 8 την > BQpau. || 9 εποιησα] pr. ουκ corrector posterior codicis B, cf. 14. 22